# 87. JESUS FORETELLS HIS DEATH (Matt-Mark Identical)

| Matt 16:21-28 | Mark 8:31–9:1 |
| --- | --- |
| Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς | Καὶ ἤρξατο διδάσκειν αὐτοὺς |
| δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ | |
| ὅτι δεῖ αὐτὸν | ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου |
| εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ | |
| πολλὰ παθεῖν | πολλὰ παθεῖν |
| | καὶ ἀποδοκιμασθῆναι |
| ἀπὸ τῶν πρεσβυτέρων | ὑπὸ τῶν πρεσβυτέρων |
| καὶ ἀρχιερέων | καὶ τῶν ἀρχιερέων |
| καὶ γραμματέων | καὶ τῶν γραμματέων |
| καὶ ἀποκτανθῆναι | καὶ ἀποκτανθῆναι |
| καὶ τῇ τρίτῃ ἡμέρᾳ | καὶ μετὰ τρεῖς ἡμέρας |
| ἐγερθῆναι. | ἀναστῆναι· |
| | 32 καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. |
| 22 καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος | καὶ προσλαβόμενος ὁ Πέτρος αὐτὸν |
| ἤρξατο ἐπιτιμᾶν αὐτῷ | ἤρξατο ἐπιτιμᾶν αὐτῷ. |
| λέγων, Ἵλεώς σοι, κύριε· | |
| οὐ μὴ ἔσται σοι τοῦτο. | |
| 23 ὁ δὲ στραφεὶς | 33 ὁ δὲ ἐπιστραφεὶς καὶ |
| | ἰδὼν τοὺς μαθητὰς αὐτοῦ |
| εἶπεν τῷ Πέτρῳ, | ἐπετίμησεν Πέτρῳ καὶ λέγει, |
| Ὕπαγε ὀπίσω μου, Σατανᾶ· | Ὕπαγε ὀπίσω μου, Σατανᾶ, |
| σκάνδαλον εἶ ἐμοῦ, | |
| ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ | ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ |
| ἀλλὰ τὰ τῶν ἀνθρώπων. | ἀλλὰ τὰ τῶν ἀνθρώπων. |
| 24 Τότε ὁ Ἰησοῦς | 34 Καὶ προσκαλεσάμενος |
| | τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ |
| εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, | εἶπεν αὐτοῖς, |
| Εἴ τις θέλει ὀπίσω μου | Εἴ τις θέλει ὀπίσω μου |
| ἐλθεῖν, | ἀκολουθεῖν, |
| ἀπαρνησάσθω ἑαυτὸν | ἀπαρνησάσθω ἑαυτὸν |
| καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ | καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ |
| | |
| καὶ ἀκολουθείτω μοι. | καὶ ἀκολουθείτω μοι. |
| 25 ὃς γὰρ ἐὰν θέλῃ | 35 ὃς γὰρ ἐὰν θέλῃ |
| τὴν ψυχὴν αὐτοῦ σῶσαι | τὴν ψυχὴν αὐτοῦ σῶσαι |
| ἀπολέσει αὐτήν· | ἀπολέσει αὐτήν· |
| ὃς δ᾽ ἂν ἀπολέσῃ | ὃς δ᾽ ἂν ἀπολέσει |

| | |
|---|---|
| τὴν ψυχὴν αὐτοῦ | τὴν ψυχὴν αὐτοῦ |
| ἕνεκεν ἐμοῦ | ἕνεκεν ἐμοῦ |
| | καὶ τοῦ εὐαγγελίου |
| εὑρήσει αὐτήν. | σώσει αὐτήν. |
| 26 τί γὰρ ὠφεληθήσεται | 36 τί γὰρ ὠφελεῖ |
| ἄνθρωπος | ἄνθρωπον |
| ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ | κερδῆσαι τὸν κόσμον ὅλον |
| τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ | καὶ ζημιωθῆναι τὴν ψυχὴν αὐτοῦ |
| ἢ τί δώσει ἄνθρωπος | 37 τί γὰρ δοῖ ἄνθρωπος |
| ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ | ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ |
| | 38 ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με |
| | καὶ τοὺς ἐμοὺς λόγους |
| | ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι |
| | καὶ ἁμαρτωλῷ, |
| 27 μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου | καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου |
| | ἐπαισχυνθήσεται αὐτὸν |
| ἔρχεσθαι ἐν τῇ δόξῃ | ὅταν ἔλθῃ ἐν τῇ δόξῃ |
| τοῦ πατρὸς αὐτοῦ | τοῦ πατρὸς αὐτοῦ |
| μετὰ τῶν ἀγγέλων αὐτοῦ, | μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. |
| καὶ τότε ἀποδώσει ἑκάστῳ | |
| κατὰ τὴν πρᾶξιν αὐτοῦ. | |
| | 9·1 Καὶ ἔλεγεν αὐτοῖς, |
| 28 ἀμὴν λέγω ὑμῖν ὅτι | Ἀμὴν λέγω ὑμῖν ὅτι |
| εἰσίν τινες τῶν ὧδε ἑστώτων | εἰσίν τινες ὧδε τῶν ἑστηκότων |
| οἵτινες οὐ μὴ γεύσωνται θανάτου | οἵτινες οὐ μὴ γεύσωνται θανάτου |
| ἕως ἂν ἴδωσιν | ἕως ἂν ἴδωσιν |
| τὸν υἱὸν τοῦ ἀνθρώπου | τὴν βασιλείαν τοῦ θεοῦ |
| ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. | ἐληλυθυῖαν ἐν δυνάμει. |

234 words out of 391 words = 40%